κώνων σύναψις εἰς ταὐτὸ καὶ σύλλαμψις ἐκ δυεῖν μίαν ὄψιν ἀπειργασμένη. τούτων δ᾽ οὕτως ἐχόντων οἱ μὲν
626 ἐγγὺς προσάγοντες τὰ γράμματα πρεσβῦται, | μηδέπω τῶν αὐγῶν συγκεχυμένων ἀλλ᾽ ἑκατέρᾳ χωρὶς ἐπιθιγγάνοντες, ἀσθενέστερον ἐπιλαμβάνονται· οἱ δ᾽ ἀπωτέρω προθέμενοι, μεμιγμένου τοῦ φωτὸς ἤδη καὶ πολλοῦ γεγονότος, μᾶλλον ἐξακριβοῦσιν, ὥσπερ οἱ ταῖς δυσὶν ὁμοῦ χερσὶ κατέχοντες ὃ τῇ ἑτέρᾳ μὴ δύνανται.

**3.** *Λαμπρίας* δ᾽ ὁ ⟨ἀδελφὸς⟩ τὴν Ἱερωνύμου (fr. 19 Hi.) . . . οὐκ ἀνέγνωκεν . . . εὐφυΐαν ἐμπεσὼν . . . ὅτι τοῖς προσπίπτουσιν ἀπὸ τῶν ὁρατῶν ⟨εἴδε⟩σιν πρὸς τὴν ὄψιν ὁρῶμεν, ἃ πρῶτον μὲν ἀπέρχεται μεγάλα καὶ παχυμερῆ, διὸ τοὺς γέροντας ἐγγύθεν ἐπιταράττει βραδυπόρον καὶ σκληρὰν ἔχοντας τὴν ὅρασιν· ἀνενεχθέντων δ᾽ εἰς τὸν
B ἀέρα καὶ λαβόντων διάστημα, τὰ μὲν γεώδη περιθραύεται καὶ ἀποπίπτει, τὰ δὲ λεπτὰ προσπελάζοντα ταῖς ὄψεσιν ἀλύπως καὶ ὁμαλῶς ἐναρμόττει τοῖς πόροις, ὥσθ᾽ ἧττον ταραττομένους μᾶλλον ἀντιλαμβάνεσθαι. καὶ γὰρ αἱ τῶν ἀνθῶν ὀσμαὶ πόρρωθεν εὐωδέστεραι προσπίπτουσιν, ἂν δ᾽ ἐγγύθεν ἄγαν προσάγῃς, οὐχ οὕτω καθαρὸν οὐδ᾽ ἄκρατον ὀδώδασιν· αἴτιον δ᾽ ὅτι πολλὰ τῶν γεωδῶν καὶ θολερῶν συναποφέρεται τῇ ὀσμῇ καὶ διαφθείρει τὴν εὐωδίαν ἐγγύθεν λαμβανομένης, ἂν δ᾽ ἄπωθεν, τὰ μὲν θολερὰ καὶ γεώδη περιρρεῖ καὶ ὑποπίπτει, τὸ δ᾽ εἰλικρινὲς